UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

XXVII. Epistola Imp. Constantini ad Alexandrinos.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

A Versabatur autem in comitatu eximii Alexandri, ætate juvenis ipse quidem, sed Princeps ordinis Diaconorum. Hanc igitur ejus in tuenda veritate alacritatem cùm experti essent ii, qui unigenito Deo bellum inferre decreverant; simul atque eum Alexandrinæ Ecclesiæ gubernaculis admotum esse didicerunt, ejus præsulatum eversionem esse potentiæ suæ judicarunt. Hac de causa tale quidpiam machinantur. Cùm Meletius is quem synodus Nicæna abdicaverat, motus ac turbas in Thebaide & per Ægyptum ei vicinam excitare non desisteret, illi conductis quibusdam ex illius factione, ut suspicione careret accusatio, persuadent B iis ut ad Imperatorem contendant, crimenque confingant, Athanasium Ægypto vectigal imponere; & aurum inde collectum, cuidam viro Imperium invadere meditanti subministrare. Hac ratione cùm Imperatorem decepissent, effecerunt, ut Athanasius Constantinopolim accerseretur. Qui cùm venisset, criminum falsitatem coarguit: & Ecclesiam sibi à Deo commissam recepit. Id declarat Imperatoris Epistola, quam scripsit ad Ecclesiam Alexandrinorum, cujus extremam partem hic adscribam.

## C Cap. XXVII.

*Epistola Imp. Constantini ad Alexandrinos.*

NIHIL potuerunt improbi adversus Episcopum vestrum, mihi credite fratres. Nihil aliud studuerunt, quam ut postquam tempus nostrum contriverint, nullum in hac vita habeant pœnitentiæ locum. Subvenite igitur vobismetipsis quæso: & amorem vestrum diligite: eos vero qui vestræ concordiæ gratiam dissolvere cupiunt, totis viribus persequimini. Et mentis oculis ad Deum erectis, vosmetipsos diligite. Ego enim Episcopum vestrum Athanasium libenter ex- D cepi. Atque ita allocutus sum, ut qui persuasum haberem, illum esse hominem Dei.

## Cap. XXVIII.

*Alia insidia adversus eundem Athanasium.*

VERUM ne sic quidem impios illos puduit. Sed aliam denuo fabulam composuerunt, cujusmodi nullus unquam tragicorum aut comicorum Poetarum commentus est. Accu-

A ἐγένετο καὶ πολέμιος. συνῆν δὲ Ἀλεξάνδρῳ τῷ πάνυ, νέος μὲν ὢν τὴν ἡλικίαν, τοῦ χοροῦ δὲ τῶν διακόνων ἡγούμενος. ταύτην αὐτοῦ τὴν ὑπὲρ τῆς ἀληθείας προθυμίαν τῇ πείρᾳ μεμαθηκότες οἱ τῷ μονογενεῖ θεῷ πολεμεῖν ἐγνωκότες, καὶ γνόντες τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐγχειρισθέντα τοὺς οἴακας, κατάλυσιν τῆς σφετέρας δυνάμεως ὑπέλαβον τὴν ἐκείνου ἡγεμονίαν. τούτου δὲ ἕνεκα τοιόνδε τι μηχανῶνται. ἐπεὶ Μελέτιος ἐκεῖνος ὃν ἡ ἐν Νικαίᾳ σύνοδος ἀπεκήρυξεν, ἐπέμενε κυκῶν καὶ ταράττων τήν τε Θηβαΐδα, καὶ τὴν ταύ- B τῃ πελάζουσαν Αἴγυπτον, τῶν τούτου στασιωτῶν τινας μισθωσάμενοι, ἵν᾽ ᾖ ἀνύποπτον τῆς κατηγορίας τὸ σχῆμα, πείθουσι πρὸς βασιλέα δραμεῖν, καὶ συκοφαντίαν ὑφᾶναι, ὡς Ἀθανάσιος τελωνεῖ μὲν τὴν Αἴγυπτον. τὸ δὲ συναθροιζόμενον χρυσίον, ἀνδρί τινι τυραννίδα κατασκευάζοντι χορηγεῖ. καὶ τὰς βασιλέως ἐξαπατήσαντες ἀκοάς, εἰς τὴν Κωνσταντινούπολιν τὸν Ἀθανάσιον ἤγαγον. ὁ δὲ ἀφικόμενος, διήλεγξε τῶν κατηγορημάτων τὸ ψεῦδος, καὶ τὴν θεόθεν ἐγχειρισθεῖσαν ἀπέλαβεν ἐκκλησίαν. δηλοῖ δὲ ταῦτα καὶ ἃ ὁ βασιλεὺς πρὸς τὴν Ἀλεξανδρέων ἔγραψεν ἐκκλησίαν, C ὧν τὸ τελευταῖον μέρος ἐνθήσω τῇ συγγραφῇ.

## Κεφ. κζ΄.

*Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου πρὸς Ἀλεξανδρείας.*

ΟΥδὲν ἴσχυσαν οἱ πονηροὶ κατὰ τοῦ ἐπισκόπου ὑμῶν, ἐμοὶ πιστεύσατε ἀδελφοί. οὐδὲν ἕτερον ἐσπουδάκασιν, ἢ ἵνα καταλείψαντες τοὺς ἡμετέρους χρόνους, μηδεμίαν χώραν ἐν τῇ ζωῇ ταύτῃ μεταμελείας ἔχωσιν. ἐπικουρήσατε τοίνυν ὑμῖν αὐτοῖς παρακαλῶ, τὸ φίλτρον τὸ ὑμέτερον ἀγαπήσατε, καὶ παντὶ σθένει διώξατε τοὺς τὴν τῆς ὑμετέρας ὁμονοίας χάριν ἀφανίζειν ἐπιθυμοῦντας. καὶ πρὸς τὸν θεὸν ἀπιδόντες, D ὑμᾶς αὐτοὺς ἀγαπήσατε. ἐγὼ γὰρ τὸν ὑμέτερον ἐπίσκοπον Ἀθανάσιον ἀσμένως προσηκάμην. οὕτω τε προσεφθεγξάμην, ὡς ἄνθρωπον αὐτὸν εἶναι θεοῦ πεπεισμένος.

## Κεφ. κη΄.

*Ἄλλη κατὰ Ἀθανασίου ἐπισκόπου ἐπιβουλή.*

ΑΛλ᾽ οὐδ᾽ οὕτως οἱ δυσσεβεῖς ἐνετράπησαν. ἀλλ᾽ ἕτερον ἐξύφηναν δρᾶμα, ᾧ προσόμοιον οὐδεὶς τῶν πάλαι γεγενημένων τραγῳδοποιῶν ἢ κωμῳδοποιῶν διέπλασε

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN